UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

Demosthenes

Aureliae Allobrogum, 1607

Ennaratio in Philippicam I

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

A καθείρξαντες.) ἐκ μεταφορᾶς τῶν ἀλόγων ζώων. διὸ καὶ τὸ πιθασσεύουσιν, καὶ τὸ χειρήθεις ἐπήγαγεν.

ταῦτα μὲν τὴν δήμητρα.) ἐντεῦθεν οἱ ἐπίλογοι. παρασκευαστικῶς δὲ ὁ ῥήτωρ τὸν κίνδυνον βουλόμενος φυγεῖν, τοῦτό φησιν. ἀλλ᾽ ἔγωγε ὅτι καὶ νῦν.) ἐπειδὴ τὸ ἐν τῇ συνηθείᾳ κακῶς λεγόμενον, οὐ χρῆται· τῷ ὅτι καὶ νῦν ἀντὶ τούτου κέχρηται. διὰ δὲ τοῦ λέγειν ὅτι θαυμάζω ὑμᾶς ὅτι κἂν γοῦν νῦν δεδώκατέ μοι παῤῥησίαν, προτρέπει αὐτοὺς τοῦτο ποιεῖν.

καὶ ταῖς περιουσίαις.) τουτέστι, τοῖς θεωρικοῖς.

ἀφορμαῖς δέ.) ταῖς προφάσεσι.

διὰ δὲ τοῦ ἴσως εἰπεῖν.) ὡς ἐν ἐπανορθώσει τὸν δισταγμὸν τὸν πρὸς σφᾶς ὑπέφηνε. ἃ τοῖς ἀσθενοῦσιν.) οἰκείως τῇ παραβολῇ ἐχρήσατο, δεικνὺς ὅτι νοσοῦσιν ἄνοιαν.

οὐκοῦν.) ἐπειδὴ ἡ μισθοφορὰ τοῖς ἀθηναίοις ἐφύβριστος (οἰκετῶν γὰρ) ἐχρήσατο τῇ ἀνθυποφορᾷ ταύτῃ, δι᾽ ἧς λύει καὶ ἀποκρύπτει τὸ ἀπρεπές. ἐπειδὴ δὲ οἶδεν ὅτι οὐκ ἂν πείσειεν αὐτοὺς ἀποστῆναι τῶν θεωρικῶν· βούλεται αὐτοὺς μόνοις ἀρκεῖσθαι· καὶ* μὴ ἐὰν δικάζωσιν ἢ συμβουλεύωσιν, ἢ ἐκστρατεύωνται, λαμβάνειν μισθόν. B

ἔξεστιν ἄγειν ἡσυχίαν.) πάνυ καλῶς τὴν ἡσυχίαν προέταξε. περὶ ῥαθύμων γὰρ φθέγγεται. εἶτα ἵνα μὴ μεμνημένος τοῦ ὀνόματος τοῦ πολέμου ἐπαχθὴς ὀφθῇ, οὐκ ὠνόμασεν, ἀλλ᾽ εἶπεν, οἷα καὶ τανῦν ὑπάρχει.

ἀπὸ τῶν αὐτῶν τούτων.) τουτέστιν, ἵνα μὴ πρὸς τοῖς θεωρικοῖς λαμβάνῃ μισθὸν στρατιωτικόν.

ὥσπερ ἐστὶ δίκαιον.) καὶ γὰρ οὐ παράνομον τὸ ὑπὲρ τῆς ἐνεγκαμένης τοὺς πολίτας ἀγωνίζεσθαι.

πλὴν μικρῶν.) ἐπειδὴ συνεβούλευσεν αὐτοῖς μὴ λαμβάνειν μηδὲ στρατιωτικόν, μήτε συμβουλευτικόν, μηδὲ δικαστικόν, ἀλλ᾽ ἀρκεῖσθαι τοῖς θεωρικοῖς. διὰ δὲ τοῦ εἰπεῖν μικρῶν, εὐχερεῖς τοῦ καταφρονεῖν αὐτοὺς τούτου παρασκευάζει. τῆς τάξεως.) τάξιν ἀρετῆς καλεῖ, μὴ* τὸ ἡγεμονεύειν τῆς ἑλλάδος. ἀλλ᾽, ὥσπερ εἰώθεσαν, τὸ δι᾽ ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. C

σχεδὸν εἴρηκα.) ἵνα μή τινες καταγνῶσιν αὐτοῦ ὡς παραλείψαντος τινὰς συμβουλίας, ἢ ῥαθυμήσωσιν ὡς ἅπαντ᾽ ἀκούσαντες, προσέθηκε τὸ σχεδόν. συνοίσειν.] πάλιν καὶ ἐνταῦθα διὰ τοῦ αὐτοῖς τὴν αἵρεσιν ἀποδιδόναι, τὴν περὶ τῶν θεωρικῶν κρίσιν ἀποφεύγει.

ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΠΡΩΤΟΝ Δημοσθένους λόγον ἐξήγησις.

Εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος προυτίθετο, ὦ ἄνδρες ἀθηναῖοι, λέγειν.) ἀπολογεῖται μὲν ἐν τῷ προοιμίῳ περὶ τοῦ προαρπάσαι τὴν τάξιν τῶν γερόντων. ἰστέον δὲ ὅτι συλλογιστικῶς τοῦτο λύει. ὡσεὶ ἔλεγεν, οἶδα μὲν ὅτι ἀναγκαῖόν ἐστι πρώτους λέγειν τοὺς γέροντας, ἀλλὰ τοῦτό γ᾽ ὅταν ᾖ ἡ βουλὴ περὶ καινοῦ τινος πράγματος· νῦν δὲ, οὐ περὶ καινοῦ πράγματος. περὶ γὰρ φιλίππου βουλευόμεθα, ὥστε ἤδη πολλάκις εἰπόντων τῶν γερόντων περὶ τούτων· οὐ παραχαράττω τὸν νόμον. καὶ οὕτω μὲν ἔστι συνελογίσατο. ἡ δὲ ἀλήθεια ἔχει, ὡς εἴ τε παλαιὸν ἦν τὸ πρᾶγμα, εἴ τε καινόν, ἔδει τοὺς γέροντας λέγειν πρώτους. ἐπειδὴ δὲ νῦν πάνυ τε θορυβοῦνται οἱ ἀθηναῖοι, ἐπὶ τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν χαλκιδικῶν, καὶ ἐπὶ τῇ πολλῇ αὐξήσει τοῦ φιλίππου· διὰ τοῦτο προαρπάσαι τὴν τάξιν ἐπιχείρησεν.

Incluſos.) Tranſlatum à brutis animantibus: quamobrem etiam: Cicurant,& manſuetos faciunt: ſubiicit.

Hæc per Cererem.) Hinc incipit peroratio. Dicit autem hæc orator fugiẽdi periculi cauſa, cum præparatione quadam.

Ego verò nunc etiam.) Quia id* quod ferè vſurpari ſolet, malè dicitur, eo non vtitur, & eius vice τῷ ὅτι καὶ νῦν vſus eſt. Cum verò dicit, Miror vel nunc vos feciſſe mihi dicendi liberè poteſtatem: hortatur eos vt id faciant.

Et copia.) Hoc eſt, pecunia theatrali.

ἀφορμαῖς.) Id eſt, προφάσεσι, occaſionibus, prætextibus, cauſis.

Fortaſſe.) Tanquam per correctionem, dubitare ſe de illis ſubindicat.

Quæ ægrotantibus.) Hac parabola commodè vſus eſt, oſtendens, eos ſtultitiæ morbo laborare.

Igitur.) Quoniam mercedis acceptio contumelioſa videbatur Athenienſibus (ſeruorum enim eſt) obiectione eſt vſus, qua ſoluit & tegit turpitudinem. Quia verò ſcit, eis perſuaderi non poſſe, vt theatralem pecuniam miſſam faciant,* vult eos illa ſola eſſe contentos: neque ſiue ius in foro, ſiue in ſenatu ſententiam dicant, aut foris militent, mercedem accipere.

Licet agere ocium.) Omnino præclarè ocium priore loco poſuit. nã de ignauis diſſerit. Deinde ne bello nominato moleſtus videretur, id ſubticuit: ac dixit, Quale etiam nunc eſt.

Ab his iiſdem.) Hoc eſt, ne ad theatrales mercedẽ accipiant militarem.

Quemadmodum iuſtum eſt. Nec enim legibus eſt contrarium, pro patrio ſolo militare.

Præter parua. Quoniam ſuaſit eis, ne vel militarẽ, vel ſenatoriam, vel iudiciariam mercedem accipiat, ſed theatralibus contenti ſint: dicendo, parua, facit vt ea non grauatè aſpernentur.

Ordine.) Ordinem ſeu ſtationem virtutis nominat,* Græciæ principatum, atque illud, quòd olim ſuis corporibus militare ſolebant.

Ferè dixi.) Ne aliqui culparent, eum conſilia quædam omiſiſſe, néve ſocordes eſſent, quaſi omnia audiuiſſent, Ferè, appoſuit.

Profuturum.) Rurſus etiam hic data ipſis optione iudicium de theatrali pecunia effugit.

ENARRATIO PRIMÆ IN PHILIPPVM DEMOSTHENIS orationis, Hieronymo Vuolfio interprete.

SI de noua quapiã re inſtituta eſſet deliberatio.) Excuſat ſe in exordio de prærepto ſenibus dicẽdi loco. Sciendum autem eſt, eum id crimen ratiocinatione ſoluere, quaſi dicat: noui equidem neceſſe eſſe, vt ſenes primi dicant: ſed tum, cum de nouo quopiam negocio deliberatur. Nunc verò nulla noua de re, ſed Philippo agitur. Proinde cum ſenes iam hiſce de rebus ſæpe dixerint: legi fraudem non facio. Et ad hunc ſanè modum ipſe ratiocinatur. Sed res ita ſe habuit: ſiue negocium vetus eſſet, ſiue nouum: ſenibus primo loco ſententia dicenda erat. Quia verò tum Athenienſes valde turbati erant, propter iacturam duarum & triginta Chalcidicarum vrbium: & ob magnos Philippi ſucceſſus & incremẽta propterea primum dicẽdi locum occupare ſtuduit.

προυτίθετο.)Pro προεβάλλετο propoſitum eſſet. quidã pro προεγράφετο, id eſt, ſcripto ſignificatum eſſet, acceperunt, quòd tabellas quaſdam conſcribere ſolerent olim, quib. res de qua conſultaretur, & propter quam indicta eſſet concio, contineretur: eáſque ante concionem proponerent, vt cognoſcerent omnes, qua de re indicta eſſet concio.

Dicendum eſſet.)Subdiſtinguendum eſt hic, vt ſic accipiatur: Si noua quapiam de re dicẽdũ eſſet: repreſſiſſem me, & expectaſſem, donec ſenes iſti ſententiam dixiſſent: ac tum ipſe etiam quæ ſentio, dicere conatus eſſem. Sciendum autem eſt, eum Iſocratico exordio eſſe vſum, eo quòd in Archidamo habetur. Nam ibi quoque id argumentum tractatur, quare adoleſcens ſenes anteuertat.

Eorum qui ſolent.)Senes intelligit. Vide autẽ vt eos clanculum perſtrinxerit, dicendo, Eorum qui ſolent: vt ſignificet, eos tantum habere conſuetudinẽ primo loco dicendi, non tamẽ etiam vtilia ſuadere.

Si quid mihi placuiſſet.)Partitione & ſuppartitione hic eſt vſus. Cum enim cõiunctionẽ μὲν poſuerit, δὲ nõ ſtatim ſubiecit, ſed aliud μὲν. Eſt enim μερισμὸς καὶ ὑπομερισμός, cũ binis μὲν μὲν poſitis, neceſſe eſt bina δὲ δὲ ſubiungere. id quod hic etiam reperitur. Vide autem, vt rurſus cum autoritate dixerit, Mihi placuiſſet: quod eſt, bono conſiliario bonum conſilium. Figura hæc apud poetam extat. χαῖρ' ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς, ἠμὲν ἐνὶ κλισίῃ Salue Achille, conuiuio quidem ęquali non caremus, ſiue quidem in tẽtorio.

Sæpe dixerunt.)Iterum eos ingenioſè perſtringit, dicendo, Sæpe quidem verba fecerunt, ſed nihil profecerunt. Quærunt autẽ, cũ ſuaſorij generis propria ſit adhortatio & dehortatio, minimè verò in accuſãdo verſetur: quo pacto hæc oratio inſcripta ſit, tota ſuaſoria, cum in Philippũ inuehatur? Reſpondemus, tria cauſarum genera ſæpe inter ſe miſceri, & aliud alij præbere materiã, vt hoc loco. Cum enim probare vellet, populãdã eſſe Macedoniã: materia vſus eſt inſectatione Philippi. Sciẽdũ eſt in cęteris orationib. materiã fuiſſe Olynthiorũ obſidionẽ (nã ea dicẽdi copiá oratori ſuppeditabat) cõtinés verò & firmamẽtũ, Atheniẽſiũ potẽtiã. Sed hic materia eſt Macedo, cõtinés verò Atheniẽſes. Quamobrẽ etiã diuersã à ſuperiorib. inſcriptionẽ ſortita eſt. Orationis argumẽta & capita tria ſunt, vt remp. fortiter defẽdãt, vt ipſi militẽt, vt pecunię ſubſidia excogitent, vnde militib. ſtipẽdia numerẽtur. Recitatione autẽ Philippi epiſtolę, nihil aliud agit, niſi vt eos exacuat & rẽp. defẽdẽdã eſſe doceat. Exordiũ nõ à re, ſed à perſona ducitur. Nã cũ ipſe ante ſeniores ſurrexiſſet & id quidam ægrè ferrent: ei incommodo medetur. Verbo, Me repreſſiſſem, ſignificat, ſe tunc quoque vix ſibi temperaturum fuiſſe, quo minus de bono publico diceret. Tranſlatio ſumpta eſt ab equis, qui currendi cupidi, cohibentur. Figurã alij vocãt, duplicẽ partitionẽ, alij partitionẽ & ſuppartitionẽ. nã cũ prius bina μὲν μὲν poſuiſſet, bina δὲ δὲ ſubiũxit. Cõiunctiones aũt ſępe nõ ordine redduntur, ſed ita vt poſtrema pars primę reſpõdeat. Nã in capite de cõprehẽſione dicit Hermogenes, eius formæ approbationẽ priorẽ eſſe propoſitione. Nã, Si de noua quadã re dicẽdũ eſſet: & cætera, eſt approbatio. Poſteaquam verò de quib. ſæpe, &c. eſt propoſitio. Propoſitio enim eſt in hanc ſententiã, etiã natu minori primo dicenti locum eſſe dandum. eius verò approbatio: quòd ij qui conſulere ſoleant, hoc eſt, ſeniores

προυτίθετο.) ἀντὶ τοῦ προεβάλλετο. τινὲς δὲ, ἀντὶ τοῦ προεγράφετο· ἐπειδήπερ σανίδας τινὰς ἐνέγραφον, τὸ πρᾶγμα ἐχούσας περὶ οὗ ἡ σκέψις, καὶ περὶ οὗ συνεληλύθασι. καὶ προετίθεσαν τῆς ἐκκλησίας, ἵνα γνῶσι πάντες περὶ τίνος ἐστὶν ἡ ἐκκλησία. λέγειν.) δεῖ ὑποστίξαι ἐν τούτῳ, ἵν' ᾖ οὕτως. εἰ μὲν περὶ καινοῦ τινος πράγματος λέγειν προετίθετο, ἐπισχὼν καὶ ἀναμείνας, ἕως οὗτοι εἴπωσιν οἱ γέροντες, τότε καὶ αὐτὸς ἐπειρώμην ἃ γινώσκω λέγειν. ἰστέον δὲ ὅτι τῷ ἰσοκρατικῷ προοιμίῳ ἐχρήσατο, τῷ ἐν τῷ ἀρχιδάμῳ. κἀκεῖ γὰρ τὸ ἐπιχείρημά ἐστιν, ὅτι νέος ὢν, προλαμβάνει τοὺς γέροντας. τῶν εἰωθότων.) θέλει εἰπεῖν τῶν γερόντων. ὅρα δὲ πῶς λεληθότως αὐτοὺς διέβαλε διὰ τοῦ εἰπεῖν, τῶν εἰωθότων, ἵνα δηλώσῃ, ὅτι μόνον ἔθος ἔχουσι λέγειν πρῶτοι, οὐ μὴν καὶ χρήσιμόν τι συμβουλεύουσιν. εἰ μὲν ἤρεσκέ τί μοι.) τῷ μερισμῷ καὶ ὑπομερισμῷ σχήματι κέχρηται ἐνταῦθα. εἰπὼν γὰρ τὸν μὲν ἄνω σύνδεσμον, οὐκ ἐπήγαγεν εὐθέως τὸν δέ. ἀλλὰ ἄλλον μέν. ἔστι γὰρ ὁ μερισμὸς καὶ ὑπομερισμὸς, ὅταν εἰπὼν δύο μὲν ἀνάγκην ἔχει πρὸς τὰ δύο μὲν, ἀποδοῦναι δύο δέ. ὅπερ ἐστὶ καὶ ἐνταῦθα εὑρεῖν. ὅρα δὲ πῶς πάλιν ἀξιοπίστως εἶπε, τὸ ἤρεσκέ μοι, ὅ ἐστι τῷ ἀγαθῷ συμβούλῳ, ἀγαθὴ συμβουλευθεῖσα βουλή. τὸ δὲ σχῆμα τοῦτό ἐστι, παρὰ τῷ ποιητῇ. χαῖρ' ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης, οὐκ ἐπιδευεῖς. ἠμὲν ἐνὶ κλισίῃ.

πολλάκις εἰρήκασι.) πάλιν αὐτοὺς εὐφυῶς διαβάλλει διὰ τοῦ εἰπεῖν πολλάκις μὲν εἰρήκασιν, οὐδὲν δὲ ἤνυσαν. ζητοῦσι δὲ, εἰ τοῦ συμβουλευτικοῦ ἴδιον ἡ προτροπή τε καὶ ἀποτροπὴ, οὐδ' ὅλως δὲ κατηγορεῖ· πῶς ἐνταῦθα ἐπιγέγραπται, ὅλως συμβουλευτικὸς, ὢν κατὰ φιλίππου; καί φαμεν, ὅτι πολλάκις τὰ τρία εἴδη τῆς ῥητορικῆς ἐπιμίγνυται, ἀντὶ ὕλης ἀλλήλοις καθιστάμενα, ὥσπερ ἐνταῦθα. βουλόμενος γὰρ κατασκευάσαι, ὅτι δεῖ τὴν μακεδονίαν κακῶσαι· ὕλῃ ἐχρήσατο τῇ κατὰ φιλίππου καταδρομῇ. ἰστέον ὅτι ἐν μὲν τοῖς ἄλλοις λόγοις, ὕλη ἦν ἡ τῶν ὀλυνθίων πολιορκία. αὕτη γὰρ εὐπορίας ἐν τῷ λέγειν αἰτία τῷ ῥήτορι καθίσταται. *συνέχον δὲ, ἡ τῶν ἀθηναίων δύναμις. ἐνταῦθα δὲ ὕλη μὲν ὁ μακεδὼν, συνέχον δὲ, οἱ ἀθηναῖοι. διὰ τοῦτο καὶ ἑτέρας ἐπιγραφῆς ὡς πρὸς τοὺς προλαβόντας λόγους ἔτυχε. τὰ δὲ τοῦ λόγου ἐνθυμηματικὰ κεφάλαια, τρία εἰσὶ, τὸ ἐρρωμένως ἀντιλαμβάνεσθαι τῶν πραγμάτων· τὸ αὐτοὺς στρατεύεσθαι· τὸ πόρους χρημάτων ἐπινοεῖν, ὅθεν τὸ σιτηρέσιον τοῖς στρατευομένοις γενήσεται. διὰ δὲ τοῦ ἀναγνώσκειν τὴν φιλίππου ἐπιστολὴν, οὐδὲν ἕτερον * ἢ παροξύνει, καὶ ἀντιλαμβάνεσθαι δεῖν τῶν πραγμάτων, διδάσκει. τὸ δὲ προοίμιον, οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου. ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες, ὃ δὴ καὶ θεραπεύει. διὰ γὰρ τοῦ ἐπισχὼν, ἔδειξεν, ὡς καὶ τότε μόλις εἶχε καρτερῆσαι, μὴ ὑπὲρ τῶν συμφερόντων πρῶτος εἰπεῖν, ἐκ μεταφορᾶς τῶν προθυμουμένων ἵππων δραμεῖν καὶ ἐπεχομένων. τὸ σχῆμα οἱ μὲν καλοῦσι διπλοῦν μερισμόν. οἱ δὲ, μερισμόν τε, καὶ ὑπομερισμόν. εἰρηκὼς γὰρ πρότερον δύο μὲν, ἐπήγαγε δύο δέ. ἐπιφέρουσι δὲ αὐτοὺς πολλάκις οὐ κατὰ τάξιν, ἀλλὰ πρὸς τὸ πρῶτον τὸ τελευταῖον* ὅθεν ἐν τῷ περὶ τῆς περιβολῆς λέγει ἑρμογένης, τῆς ἰδέας τὴν κατασκευὴν, προτέραν εἶναι τῆς προτάσεως. τὸ γὰρ, εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος προυτίθετο λέγειν, καὶ τὰ λοιπὰ, ἔστιν ἡ κατασκευή. τὸ δὲ, ἐπειδὴ περὶ ὧν πολλάκις, καὶ τὰ λοιπὰ, ἔστιν ἡ πρότασις. πρότασις γάρ ἐστιν ὅτι δεῖ καὶ νεωτέρου ὄντος, πρώτου λέγοντος ἀνέχεσθαι. ἡ δὲ ταύτης κατασκευὴ,

ὅτι

A ὅτι μηδὲν τῶν δεόντων οἱ εἰωθότες, ἤτοι οἱ πρεσβύτεροι εἰρήκασιν. ὁ δὲ σοφιστὴς ἀσκληπιὸς, κατασκευὴν εἶναι λέγει ἄνευ προτάσεως. ὁ δὲ ἰσοκράτης ἐν τῷ τοῦ ἀρχιδάμου, τὴν πρότασιν πρώτην ποιήσας, ἐπήνεγκε τὴν κατασκευήν. οἷον, ἴσως τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως * νόμοις, ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολὴν, καὶ τὰ ἑξῆς. τοῦτο ἡ πρότασις. ἡ δὲ κατασκευή· ἐγὼ δὲ εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν, ἀξίως ἦν τῆς πόλεως εἰρηκὼς, *πολλὴν ἂν ἡσυχίαν ἦγον.

οἷον ἄν.) εὐφήμως αὐτὸ εἶπε πάνυ φάσκων οἷον ἂν ὑμεῖς βούλησθε. τουτέστι μετ᾽ ἀργίας νικῆσαι. παραδείγμασι.) πρὸς τὸ οὐδὲν ὑμῖν ἐστι φοβερόν. χρωμένοις.) ἐὰν δὲ χωρὶς τοῦ σ, πρὸς τὸ ἵνα εἰδῆτε χρώμενοι, καὶ τὴν νῦν ὕβρει.) ῥώμην μὲν ὅτε ἔλεγε περὶ λακεδαιμονίων, ῥώμην εἶπεν· ἐνταῦθα δὲ ἐπειδὴ θέλει ταπεινοῦν τὸν μακεδόνα, ὕβριν εἶπε. πάνυ δὲ τοῦτο ἔχθιστον τοῖς ἀθηναίοις. καὶ γὰρ ἐλευ- B θερίας ἐρασταὶ καθεστήκεισαν. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι.) ὅσας οἶδεν ὁ ῥήτωρ ἰσχυρὰς ἀντιθέσεις, πρὸ τῶν τούτων λέγει τὰς λύσεις. εἶθ᾽ οὕτως σαθρὰς ἀποδείξας αὐτὰς, προφανῶς προβάλλεται. ὥσπερ οὖν καὶ ἐνταῦθα. τὴν δὲ ἀντίθεσιν, τὴν παροῦσαν* εἰς δύο κατασκευάζει· ἔκ τε τῆς *τούτου δυνάμεως, καὶ* ἐκ τῆς οἰκείας ἀσθενείας τῶν ἀθηναίων. εἶτα ἐπειδὴ εἰ καὶ τὰ μάλιστα ἐδόκει λελύσθαι ἡ ἀντίθεσις, ὅλως ἔτι σφοδρὰ ἦν· τὴν μὲν ἀρχὴν συνεχώρει τῷ ἀντιτιθέντι. δεῖ γὰρ τὸν ῥήτορα διὰ τὸ μὴ δοκεῖν ἀναιδῆ, καὶ τοῖς * προφανῶς ἀληθέσι πολέμιον, ἐπὶ τῶν τοιούτων τὴν μὲν ἀρχὴν ἐνδιδόναι. τελευταῖον δὲ, καὶ παρὰ τῆς συνδρομῆς ἀπολογεῖσθαι. δυσπολέμητον.) δυσπολέμητον εἶπε καὶ οὐχὶ ἀκαταγώνιστον. ὁ μὲν γὰρ ἀκαταγώνιστος, οὐδέ ποτε ἡττᾶται. ὁ δὲ δυσπολέμητος, δυσχερῶς μὲν, ὅμως δὲ καταγωνίζεται. ὅπερ ἐνταῦθα θέλων ὑποφῆναι, παρέθετο. κύκλῳ.) τινὲς φασιν ὅτι ἐπειδὴ ἀκτή ἐστιν ὁ τόπος, διὰ τοῦτο εἶπεν. οἱ δὲ, ὅτι ἐπειδὴ ἐν κύκλῳ αὗται ἔκειντο. ἐπιτειχίσματα.) ἐπιτείχισμα, τόπος ὑψηλὸς, ὃν προκαταλαβόντες πολέμιοι C τειχίσασθαι, διὰ τὸ ἐντεῦθεν αὐτοὺς ὁρμωμένους ἐπιτίθεσθαι τοῖς ἐχθροῖς καὶ τοῖς ἐθέλουσι πονεῖν. οἰκείως πρὸς ζῆλον τῶν ἀθηναίων, ἐπαινεῖ τὸν μακεδόνα. οἶδε γὰρ ἐν καιρῷ ἐπαινεῖν καὶ τὸν πολέμιον. ὅτι ταῦτα μὲν ἐστὶν ἅπαντα τὰ χωρία, ἆθλα τοῦ πολέμου, κείμενα ἐν μέσῳ.) ἐκ μεταφορᾶς τῶν κειμένων τοῖς παλαίουσιν ἄθλων ἐν μέσῳ. ἔπαθλα δὲ οὐχ εὕρηται, εἰ μὴ ἅπαξ παρ᾽ εὐριπίδῃ. καὶ τοῖς ἐθέλουσιν.) ὅρα ὅτι δι᾽ ἐκείνου τοῦ τρόπου φησὶν αὐτὸν ᾑρηκέναι τὰς πόλεις, δι᾽ οὗ βούλεται αὐτοὺς προσέχειν τοῖς πράγμασι. τὰ μὲν ὡς ἂν ἑλών τις.) ἐπειδὴ τὸ κατέστραπται φοβερόν ἐστιν, ἐπήγαγε ταπεινώσεως χάριν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ. καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν.) ἐπειδὴ ἐλύπει τοὺς ἀθηναίους τὸ τὸν φίλιππον ἔχειν συμμάχους καὶ φίλους, διὰ τῆς καθολικῆς γνώμης τοῦτο ἐθεράπευσε. πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν.) ἰστέον ὅτι εἰρωνεία ἐστὶν ἐναντίον τῆς ἀλαζονείας. ἀλαζονεύεσθαι μὲν γὰρ, τὸ πλείονα ἐπαγγέλλεσθαι δύνασθαι ποιεῖν ἤπερ δύναται. εἰρωνεία δὲ, τὸ λέγειν ἐλάττονα μὴ δύνασθαι ποιεῖν. αὐτὸς μὲν οὐδὲν ἕκαστος.) ἴδιον γὰρ καὶ τοῦτο τῶν ῥαθυμούντων. ἂν θεὸς θέλῃ.) εἰς οὐρανὸν τὰς ἐλπίδας ἀνέπεμψεν. ἵνα ἐὰν ἴσως ταῦτα ποιησάντων, μὴ ἀποβαίνῃ τὰ συμφέροντα, ἔχῃ ἀπολογίαν· τούτου χάριν ἐντεῦθεν ἤδη τὴν* διοίκησιν τοῦ θεοῦ προσέθηκεν. οἱ δὲ, διὰ τὸ φιλόθεον τὸ οἰκεῖον ἦθος παραστῆσαι. μισεῖ τις ἐκεῖνον).μισεῖ μὲν ὁ ἤδη πεπονθὼς κακῶς

nihil dixerint,quod ad rem pertineat.Æſculapius autem ſophiſta confirmationem ait eſſe ſine propoſitione.Sed Iſocrates in Archidami oratione, primo loco propoſitione poſita,confirmationem ſubiecit, hoc modo:Fortaſſe quidam veſtrûm mirantur, me, qui reliquo tempore legibus noſtræ ciuitatis ita, vt haud ſcio an quiſquam meorum æqualium, paruerim, vſque adeò eſſe mutatum: & cætera. Hæc propoſitio eſt, ſequitur confirmatio: Ego verò, ſi quis eorum qui apud vos verba facere ſolent,pro rei publicæ dignitate diſſeruiſſet: omnino quieuiſſem.

Quale vos) Hoc verecundè & vrbanè,& citra offenſam dixit omnino,dicendo. Quale vos vultis: hoc eſt,cum ignauia vincere.Exemplis.) Si χρωμένοις vtentibus:referendum eſt ad illud,Nihil vobis metuendum eſt.Si in χρώμενοι vtentes.ſine σ legitur, ad illud,Vt ſciatis vtentes.Iſta illius inſolentia.) Suprà de Lacedæmoniis loquens,Robur:hic Macedonem deprimere volens,Inſolentiam dixit. id quod erat inuiſiſſimum Athenienſibus libertatis perpetuis amatoribus.

Si quis verò veſtrûm.) Quaſcunque obiectiones ſcit orator eſſe firmas,earum refutationes primùm recitat:deinde earum futilitate oſtenſa, palàm proponit,quemadmodum nũc hic etiam.Obiectionem autem hanc bifariam confirmat,tum à potentia Philippi,tum verò in primis à domeſtica infirmitate Athenienſium.Deinde quia,vt maximè refutata videretur obiectio,prorſus adhuc vehemens erat:initiò aſſentitur aduerſario. Nam oratorem oportet, ne impudens videatur,& manifeſtæ veritatis inimicus,in huiuſmodi locis principium concedere, ac tũ deinum etiam conceſſionem infirmare.

Difficilem ſuperatu.) δυσπολέμητον dixit,& non ἀκαταγώνιστον:id eſt,inexpugnabilem.Nam inexpugnabilis nunquam expugnatur ſed δυσπολέμητος difficulter ille quidem,ſed vincitur tamen: id quod hoc verbo innuere voluit,κύκλῳ,circumcirca.) Quidam eum,quia littus,ſit hic locus, propterea ſic dixiſſe putant.alij,quod oppida illa velut in circulo poſita ſint.Arce.)ἐπιτείχισμα locus excelſus eſt, quem hoſtes occupatum munire ſolent,vt ex eo progreſſi hoſtes inuadant.Rectè igitur propter induſtriam laudat Macedonem,vt Athenienſes ad æmulationem prouocet. Scit enim Demoſthenes, etiam hoſtem tempeſtiuè laudare.

Eſſe quidem vniuerſa loca hęc,pręmia belli, ſita in medio.)Tranſlatio ſumpta à præmio, quòd pugilib.in medio ponitur.Vox ἔπαθλα non niſi ſemel reperitur apud Euripidem.Et volentibus.) Vide vt dicat Philippum ea ratione cepiſſe vrbes illas,qua ipſe velit Athenienſes rebus gerendis animum intendere.

Alia vt aliquis capta.)Quia verbum Euertit,terribile eſt,ſubiecit extenuationis gratia, Vt aliquis bello capta habeat.Etenim ſocij eſſe & adhęrere.)Quia moleſtæ erant Athenienſibus ſociorum amicorũmque copiæ,quas Phillippus habebat,ei incommodo per generalem ſententiam eſt medicatus. Omni omiſſa diſſimulatione.)Sciendum(εἰρωνείᾳ) diſſimulationi(ἀλαζονείαν)arrogantiam eſſe contrariam.Nã arrogãtiæ eſt,profiteri te plura præſtare poſſe, quàm poſſis:diſſimulationis,negare te minora poſſe facere.Si quiſq; veſtrûm ſe nihil.)Nam & hoc eſt omiſſi animi proprium.Si Deus volet)Spẽ ſurſum in cœlum miſit,vt,ſi fortè,tametſi illa feciſſent,res nõ optimè caderet,defenſionem haberet:eáq; gratia hic iam Dei gubernationem appoſuit.Alij dicunt, eum numinis amore,ſuos mores commendare voluiſſe.

Odit aliquis eum.) Odit,qui iã malè acceptus eſt:metuit,qui nondũ eſt paſſus quicquam,ſed malũ expectat;

inuidet,cum videat eum ciuitates ita euertere.

Et omnia quæcunque.Hæc figura vocatur καθαίρεσις,deſtructio.*Per hæc enim facile potiſſimúmque detrimentum capitur. Vniuerſali igitur ſententia orationem confirmauit.Trepidant.) Submiſſe ſeſe gerunt.Nec enim is qui odit,noſtræ ſocordiæ culpa ei nocet:nec qui in metu eſt,aliud quippiam cogitare poteſt,cum ſit periculoſum:nec qui inuidet,reſiſtere:viribus enim deſtituitur.Qui nec optionem.) Hoc eſt,propter Macedonis inſolentiam ne agere quidem poteſtis quæ vultis:ſed bellũ gerere neceſſe habetis,& per hoc neceſſitatem oſtendit. Neceſſarium autem eſt , ſine quo viui non poteſt. Et verba ſuperba.) Ne recitandis Macedonis verbis malè ominari videatur : ea gratia illa prætermiſit.

προσπεριβάλλεται. inſuper circumplectitur.) Aiunt,cum ciuitates in circulo ſitæ fuerint,quas Philippus ceperit , propterea eum ſic eſſe locutum. alij tranſlatum eſſe à venatoribus volunt, qui vndequaque vias omnes , omniáque effugia caſſibus obſepiant, vt ne per ea feræ elabantur. Et rurſus, περιστοιχίζεται , obambulat, ordine circundat, velut indagine cingit,ſubiecit:quo verbo figura iuuatur.

Et ſedentes.)Quia dictum illud terret,aitPhilippũ vt qui ſuffragatricem poſſideat ſocordiam Athenienſium,ea omnia perficere.

Quando igitur,Athen.) Tranſitus etiam hic fit ad locum à neceſſario. Oſtendit enim hæc neceſſariò eſſe facienda.Tractatur autem increpatione:quapropter etiam ſecundum πότε,quando,voce grauiore effertur.Deſcribit autem hic mores ſocordium , éſtq; ſermocinatio.Deinde interrogationi reſponſionem non reddit,ſed ipſe præ iracundia,pro eo qui interrogatus fuerat ſcilicet.loquitur.Poſtquam aliqua neceſſitas.)certo quodam geſtu legendum.Cum ſcilicet aliqua neceſſitas.Nihil enim liberis Athenienſibus ea ignominia grauius eſſe poteſt , quàm ſi eos qui Perſam Græcia expulerunt,Pella oriũdus homo bello Athenienſes ſuperet.

Mortuus eſt Philippus.) Etiam hinc argumento ſumpto dicunt,hanc primam eſſe orationem. Nam Philippi valetudo anteceſſit Olynthi obſidionem. ſed nos dicimus,abſurdum non eſſe,vt hoc exempli vice ponat, tametſi id ea tempora præceſſerit, cum videlicet illi quæ fieri optabant , vulgò iactarent.

Celeriter vos.) Deſidia,inquit, multos gignere Philippos poteſt.Nam dum nos negligentes ſumus celeriter alius etiam Philippus exiſtet.Alij verò quidam curioſi propter Alexandrum aiunt eum hoc dicere.Dictum hoc καθ᾽ ὑπόθεσιν,per fictionem,eſt accipiendum.

Scitote vos,ſi prope.) Nam & rege recens defuncto, & populis (vt fieri ſolet) diſſentientibus: ipſi ſeſe quibuſdam eorum adiungentes , alteris ſuperiores eſſe,& regem ſibi coniunctum conſtituere poſſent.

Faciẽdũ igitur eſſe officiũ.)Hinc ad alterã facultatis partẽ trãſit.Eã .n.dupliciter ſecuit,cum in hoc,Si Philippum imitabimur , vincere poterimus:(id quod iam abſolutum eſt) tum in copiarum multitudinem & pecuniariam rationem , quam nunc explicabit. Interiicit autem neceſſitatem , ac in ratione copiarum differit, vtrum ex delectibus ciuium,an peregrinorũ eæ ſint cõſcribẽdę.

Et quã primum.)Verbum hoc appoſuit,quòd par uum auxilium eſſe ferendum ſuaſurus eſt,vt feſtinationem excuſationis loco retineat.

A δέδιε δὲ, ὁ μηδέπω ὑπομείνας, προσδοκῶν δὲ· φθονεῖ δὲ, ὁ ὁρῶν αὐτὸν οὕτως τὰς πόλεις καταστρεφόμενον. καὶ ἅπανθ᾽ ὅσα.) τοῦτο τὸ σχῆμα καλεῖται καθαίρεσις. καὶ γὰρ διὰ τούτου, ὅθεν ῥαδίως καὶ μάλιστα ἡ βλάβη προσγίνεται, τὸν καθόλου τὸν λόγον ἐπιστώσατο. κατέπληχεν.) ταπεινοῦται. οὔτε γὰρ ὁ μισῶν βλάπτει διὰ τὸ ἡμᾶς ῥαθυμεῖν· οὔτε ὁ δεδιὼς ἕτερόν τι φρονῆσαι δύναται (ἐπισφαλὲς γὰρ) οὔτε ὁ βασκαίνων ἀντιστῆναι. ἀδύνατον γάρ.

ὅς, οὐδ᾽ αἵρεσιν.) τουτέστι διὰ τὴν ὕβριν τοῦ μακεδόνος, οὐδὲ δυνατοὶ καθεστήκατε πράττειν ἃ βούλεσθε· ἀλλὰ καὶ ἐξ ἀνάγκης ἔχετε πολεμῆσαι. διὰ δὲ τούτου, τὸ ἀναγκαῖον παρέστησεν. ἀναγκαῖον δέ ἐστιν οὗ χωρὶς ζῆν οὐ δυνατόν.

καὶ λόγους ὑπερηφάνους.) ἵνα μὴ λέγων τὰ ῥήματα τοῦ μακεδόνος, κακὸς οἰωνὸς δόξῃ. τούτου χάριν παρέδραμεν αὐτά.

προσπεριβάλλεται.) φασὶν ἐπειδὴ κυκλοτερῶς ἔκειντο αἱ πόλεις, ἃς παρέλαβεν ὁ φίλιππος, τούτου χάριν εἰπεῖν οὕτως. B ἄλλοι δὲ, ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν, οἵ τινες κύκλῳ κατὰ πάσας τὰς ὁδοὺς, καὶ πάσας τὰς ἐκτροπὰς, τὰς ἄρκυς περιβάλλουσιν, ὑπὲρ τοῦ μὴ διαφυγεῖν τὰ θηρία ἐκεῖθεν. καὶ τὸ παραστοιχίζεται πάλιν ἐπήγαγεν. ὅθεν καὶ ἄμεινον τὸ σχῆμα. καὶ καθημένους.) ἐπειδὴ φοβεῖ τὸ λεχθὲν, φησὶν ὡς ἐπικουροῦσαν τὴν ἡμετέραν ῥαστώνην κτησάμενος, τοῦτο διαπράττεται φίλιππος. πότ᾽ οὖν, ὦ ἄνδρες ἀθηναῖοι. μετάβασις καὶ ἐνταῦθα ἐπὶ τὸ ἀναγκαῖον. δείκνυσιν γὰρ ὅτι ἐξ ἀνάγκης ταῦτα ποιητέον. ἔστι δὲ κατ᾽ ἐπιτίμησιν. διὸ καὶ τὸ δεύτερον πότε, βαρυτέρᾳ τῇ φωνῇ προφέρεται. τρόπον δὲ διαγράφει ἐνταῦθα τῶν ῥαθυμούντων. ἔστι δὲ τὸ σχῆμα διαλογικόν. εἶτα τῇ ἐρωτήσει τὴν *ἀπόκρισιν οὐκ ἀποδίδωσιν· ἀλλ᾽ ὑπὸ τῆς ὀργῆς αὐτὸς ἀντὶ τοῦ δῆθεν ἠρωτημένου φθέγγεται. ἐπειδάν.) ὡς ἐν ἤθει ἀναγνωστέον τὸ, ἐπειδὰν νὴ Δία ἀνάγκη. οὐδὲν γὰρ χαλεπώτερον αἰσχύνης τοῖς ἐλευθέροις καθέστηκεν ἀθηναίοις, τοῖς τὸν πέρσην ἀπὸ τῆς ἑλλάδος διώξασιν ἢ μακεδὼν ἀνὴρ C ἐκ πέλλης ὁρμώμενος ἄνθρωπος ἀθηναίοις καταπολεμεῖ. τέθνηκε φίλιππος.) ἐντεῦθεν ὁρμώμενοί φασιν, ὅτι πρῶτος οὗτος ὁ λόγος. καὶ γὰρ ἡ ἀσθένεια φιλίππου, πρὸ τῆς πολιορκίας ὀλύνθου. ἀλλὰ φαμὲν ὅτι οὐκ ἀπεικὸς αὐτὸν τὸ τοιοῦτον θεῖναι ὡς ἐν παραδείγματι κἂν ἦν τοῖς χρόνοις πρεσβύτερον. ἐκεῖνοι γὰρ, ἅτε ταῦτα θέλοντες γενέσθαι ἐθρύλλουν. ταχέως ὑμεῖς.) ἡ ῥαστώνη φησὶ, πολλοὺς τίκτειν φιλίππους δύναται. καὶ γὰρ παρ᾽ ἡμῖν οὔσης τῆς ἀμελείας, ταχέως γενήσεται καὶ ἕτερος φίλιππος. ἄλλοι δέ τινες περιέργως φασὶ, διὰ τὸν ἀλέξανδρον αὐτὸν τοῦτο λέγειν, καθ᾽ ὑπόθεσιν τὸ λεγόμενον.

ἴσθ᾽ ὅτι πλησίον.) τοῦ τε γὰρ βασιλέως νεωστὶ τετελευτηκότος, καὶ τῶν ὑπηκόων, ὡς εἰκὸς ἦν, διχονοούντων, αὐτοὶ προστιθέμενοι ἐνίοις ἐξ αὐτῶν ἠδύναντο τῶν ἑτέρων περιγενέσθαι, καὶ οἰκεῖον βασιλέα καταστῆσαι.

ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα.) ἐντεῦθεν μέτεισιν ἐπὶ τὸ ἄλλο μέρος τοῦ δυνατοῦ. εἰς δύο γὰρ τοῦτο ἔτεμεν, εἴς τε τὸ, ὅτι ἂν λάβωμεν τὴν αὐτὴν γνώμην φιλίππῳ, δυνάμεθα νικῆσαι, ὃ ἤδη καὶ ἐξείργασται· καὶ εἰς τὸ ποσὸν τῆς δυνάμεως, καὶ τὸν τρόπον τοῦ πόρου, ὃν νῦν ἐρεῖ. διὰ μέσου δὲ εἶπε τὸ ἀναγκαῖον. τὸν δὲ τρόπον τῆς παρασκευῆς πότερον ἐκ πολιτῶν, ἢ ξένων αὕτη γίνεται.

καὶ τάχιστα.) καὶ τὸ τάχιστα προσέθηκεν, ἐπειδὴ μικρὰν μέλλει λέγειν βοήθειαν ποιεῖσθαι ἵνα τὸ τάχος, πρὸς ἀπολογίαν ἔχῃ.

δεηθεὶς ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι.) προθεραπείᾳ κέχρηται, ἐπειδὴ οἶδεν αὐτοὺς ἡδέως τὰ μέγιστα ψηφιζομένους, μηδὲν δὲ ἄξιον ποιοῦντας τῶν δεδογμένων. θέλει δὲ αὐτοὺς ἐκείνην τὴν β. ἥθειαν πέμψαι, ἣν δύνανται. τούτου χάριν ταύτῃ κέχρηται. καινὴν παρασκευήν.) ὡς πρὸς τὴν τῶν ἀθηναίων δόκησιν. καὶ γὰρ αὐτοὶ πολλὴν ἤθελον. ὁ δὲ δημοσθένης εἰδὼς πῶς ἔχει τὰ πράγματα, ὀλίγην.

οὐχὶ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες.) δηλονότι, ἡμῖν ἐξελθεῖν. μάλιστα εἰς δέον λέγουσιν· οὐδὲ χρήσιμοί εἰσι σύμβουλοι· ἀλλ' ἐκεῖνος ἄριστος σύμβουλος, ὃς ἂν παρασκευὴν ἐξεύρῃ καὶ πόρον, δι' οὗ ἂν ἀδιάφθορος ἔσται ἡ δύναμις.

ἕως ἂν ἢ διαλυσώμεθα.) πάνυ καλῶς, ἵνα μὴ δόξῃ νεμεσητόν τι ποιεῖν, προτάττων τὸ νικήσωμεν, προέταξε τὸ λῦσαι τὸν πόλεμον. εἶτα διὰ τὸ κακοσύμβουλον εἶπε πεισθέντες. οὕτω γὰρ οὐκ ἔτι τοῦ λοιποῦ.) νικήσαντες, ἢ φυλάττοντες τὴν τῶν πολεμίων ἔφοδον. μὴ κωλύων.) ἀντὶ τοῦ τοῖς βουλομένοις δημηγορῆσαι, μὴ γινόμενος παρεμποδών. τινὲς δέ φασιν, ὅτι ἐξ ἀληθείας ὁ ῥήτωρ βούλεται τὰς δύο **B** γενέσθαι παρασκευάς· ἄμεινον δὲ λέγειν ὅτι ἐπειδὴ εἶπε μόνον, τὴν ἑτέραν παρασκευὴν, ἐλύπει τοὺς ἀθηναίους. καὶ γὰρ ἡδέως τὰ μεγάλα ἐψηφίζοντο· τούτου χάριν προσέθηκε καὶ ταύτην. ἀμέλει παρακαπὼν ταύτην μὲν ὑπεσιώπησε· περὶ δὲ τῆς ἑτέρας πολὺν τὸν λόγον ἐποιήσατο.

καὶ πλοῖα.) τὰ φέροντα τὰ ἐπιτήδεια, καὶ ὑπηρετικά φησιν.

εἰς πύλας.) πύλαι ἦσαν τῆς ἑλλάδος, μεταξὺ τοῦ, τε παρνασοῦ καὶ τῆς θαλάττης, ποδῶν εἰκοσιπέντε τὸ πλάτος. αἵτινες ἐκαλοῦντο καὶ θερμοπύλαι, διὰ τὸ θερμὰ ἐκεῖσε λουτρὰ τὴν ἀθηνᾶν δοῦναι μετὰ τοὺς ἄθλους τῷ ἡρακλεῖ κεκμηκότι. ταύτην ἐπειράθη καταδραμεῖν ὁ φίλιππος, ὢν ἐν θετταλίᾳ. μαθόντες δὲ ἀθηναῖοι καὶ περιπλεύσαντες τὸν τόπον, ἀπεώσαντο αὐτόν. καὶ πρότερόν ποτε.) ὅτι τὸ ἐν ἁλιάρτῳ, πρὸ ἓξ ἐτῶν ἐγένετο· τὸ δὲ ἐν εὐβοίᾳ, πρὸ τριῶν, ὅτε καὶ ὁ ῥήτωρ ἐτριηράρχει. ἢ ὅτε πρὸ πολλῶν ἐτῶν γέγονεν ἡ ἐν ἁλιάρτῳ μάχη· ὅθεν εἶπε καὶ τὰ τελευταῖα. **C** τελευταῖα μὲν, ὡς πρὸς ταύτας τὰς στρατείας. πρῴην δὲ, ὡς πρὸς τὸν χρόνον, καθ' ὃν ἐλέγετο ὁ λόγος.

ΕΙΣ ΤΟΝ ΤΕΤΑΡΤΟΝ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ δημοσθένους λόγον ἐξήγησις.

Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει.) ἠγνοήκασιν οἱ πρὸ ἡμῶν ἐξηγησάμενοι, καὶ διελόντες τὸν δέκατον λόγον· ὅτι πρός τινα ἐξαίφνης ἀπαγγελίαν, ἥκουσαν ἐκ τῆς θράκης, δυσχερῆ, ποιεῖται ὁ δημοσθένης τὸν λόγον. ὅθεν αὐτῷ καὶ πρὸς σπουδὴν, διὰ τὴν χρείαν τὴν παροῦσαν, τότε ἐκπεφώνηται ὁ λόγος. καὶ τοῦτο αἴτιον γέγονε, τοῦ μὴ σκεψάμενον ἴδιον σκέμμα ἐπὶ τῇ ὑποθέσει ταύτῃ, τότε παρελθεῖν· τῶν καιρῶν μὴ ἐνδιδόντων αὐτῷ. δῆλος γάρ ἐστι φίλιππος ἐπαμύνων καρδιανοῖς, διοπείθους αὐτοῖς ἐπιόντος. διὸ τῶν μεταξὺ τόπων μέμνηται, ὡς ἀμφισβητουμένων ἐν τῷ ἑβδόμῳ. εἴρηκε δὲ ἐν τῷ ὀγδόῳ. ἀλλ' εἰ δεῖ τεκμαίρεσθαι ἐκ τῆς ἐπιστολῆς ἧς ἔπεμψε πρὸς ὑμᾶς ἀμυνεῖσθαί φησι τοὺς ἐν χερρονήσῳ. κοινότητος δὲ οὔσης πολλῆς ἐν τοῖς πράγμασι, τοῦ πρὸς φίλιππον γίνεσθαι τὸν λόγον, ἀδικοῦντα, καὶ παραβεβηκότα τὴν εἰρήνην· ἐξ ἑτοίμου μὲν τὰ πολλὰ, ἐκ τῶν ἤδη εἰρημένων λόγων λαμβάνει· ὅμως δὲ τοῖς παροῦσιν ὡς οἰκειότατα αὐτὰ ἐφαρμόζει.

A Precatus à vobis.) προθεραπείᾳ, conciliatione vſus eſt, non ignarus videlicet, eos cum maxima libenter decernant: nihil decretis dignum adminiſtrare. Vult autem eos id mittere auxilium quod poſſunt: proptereáque hac ratione vſus eſt.

Nouum apparatum.) Reſpicit ad Athenienſium opinionem. Etenim ipſi magnum volebant: ſed Demoſthenes, cum ſciret quo in loco res eſſet, exiguũ.

Qui celeriter & hodie iubent, rectiſſimè conſulunt.) Non qui nos ſtatim egredi iubent, optimi cõſiliarij ſunt: ſed is optimus conſiliarius fuerit, qui apparatum inuenerit, & commeatum, per quem copię conſeruentur.

Dum aut bellum deponamus.) Omnino præclarè ne inuidioſum quiddã iubere videatur, ſi priore loco poſuiſſet, Vincamus: prępoſuit, Bellum deponamus. Deinde propter mala conſilia adiicit, Perſuadeatur nobis.

Sic enim non iam deinceps.) Victores, aut cauentes hoſtium aggreſſionem. Non prohibens.) Id eſt, concionari volentibus non obſiſtens. Quidam di- **B** cunt, oratorem velle reuera duplicem fieri apparatum rectius aũt dicitur, ſi dixiſſet alterum apparatum duntaxat, cum fuiſſe moleſtum futurum Athenienſibus, magna libenter decernentibus. Propterea & hunc adiecisse. Tandem in progreſſu orationis hunc ſubticuit, ac de altero multa verba fecit.

Et naues.) Quæ commeatum vehant, & actuarias naues. Ad Pylas.) Portæ Græciæ fuerunt intra Parnaſſum & mare vigintiquinque pedum ſpatio, quæ & Thermopylæ vocantur, propterea quòd ibi Minerua Herculi calidas balneas dẽdit, poſt certamina defatigato. Eà incurſionem facere Philippus cum in Theſſalia eſſet, conabatur: ſed Athenienſes eum, re cognita, claſſe miſſa repulerunt.

Et olim aliquando.) Nam res ad Haliartum ante ſexennium geſta fuerat: in Eubœa, ante triennium: quo etiam tempore noſter orator triremem inſtruxit: aut cum ante multos annos prælium ad Haliar- **C** tum commiſſum eſt. vnde dixit, Et poſtremò. Poſtremò quidem, collatione ad has expeditiones facta: dudum verò, reſpectu eius temporis, quo oratio habebatur.

QVARTÆ IN PHILIPPVM ORATIONIS DEmoſthenis enarratio, Hieronymo Vvolfio interprete.

CVm & grauia exiſtimẽ, Athenienſes, ea de quibus deliberatis, & neceſſaria reipub.) Qui decimam orationem ante nos expoſuere ac diuiſere, ignorarunt, hanc orationem à Demoſthene ad quendam ſubitum, parúmq. ſecundum nuncium, allatũ è Thracia, fuiſſe habitam. Quamobrem etiam feſtinanter, ob vrgentem tum neceſſitatem, eam pronunciauit. Idq́ in cauſa fuit quò minus peculiarem de hoc argumento rationem meditatus prodiret, temporis anguſtijs excluſus. Apparet enim Philippum ſuppetias veniſſe Cardianis, Diopithe eos aggreſſo. Quapropter* interiectorũ locorũ tãquã dubiorũ in ſeptima meminit, & in octaua dixit, Sed ſi cõiectura capiẽda eſt ex ea epiſtola, quã ad vos miſit, ſe vlturũ eos ait, qui in Cherſoneſo ſũt. Cũ aũt res ſe multũ cognatæ ſint, ꝙ aduers⁹ Philippũ pace violata graſſãtem inſtituta hæc eſt oratio: pleraq. ex orationibus prius habitis velut è penu promit, & tamẽ negocijs de quibus nunc agitur, quàm aptiſſimè accõmodat.